eul_wid: fpa-ab

*Εὔβουλος ὁ κωμικός* · Eubulus the Comic Poet

# Fragments on Feasting

*Ἀποσπάσματα περὶ Εὐωχίας*

**Period:** *Κλασική* Classical
**Dialect:** *Κωμῳδία Ἀττική* Attic Comedy
**Domain:** *Κωμῳδία* Comedy
**Format:** *Ἔμμετρος* Verse

book 1-3.1 Καὶ γὰρ πάλαι πέττει τὰ νικητήρια.[ln_1]* * * ’Εξεπήδης’ ἀρτίως πέττουσα τὸν

book 1-3.2 χαρίσιον.[ln_2]* * * Εἶεν, γυναῖκες· νῦν ὅπως τὴν νύχθ’ ὅλην ἐν τῇ δεκάτῃ τοῦ παιδίου

book 1-3.3 χορεύσετε.[ln_5]θήσω δὲ νικητήριον

book 1-3.4 τρεῖς

book 1-3.5 ταινίας καὶ μῆλα πέντε καὶ φιλήματ’ ἐννέα.

book 4.1 ’Οπτήσιμον γογγυλίδα

book 4.2 ταυτηνὶ φέρω.

book 1.1 Θερμότερον ἢ κραυρότερον ἢ μέσως ἔχον, τοῦτ’ ἔσθ’ ἑκάστῳ μεῖζον ἢ Τροίαν ἑλεῖν. κἀγὼ γὰρ οὐ καυλοῖσιν οὐδὲ σιλφίῳ οὐδ’ ἱεροσύλοις καὶ πικραῖς

book 1.2 παροψίσι[ln_5]βολβοῖς τ’ ἐμαυτὸν

book 1.3 χορτάσων ἐλήλυθα. ἃ δ’ εἴς τ’ ἐδωδὴν

book 1.4 πρῶτα καὶ ῥώμης ἀκμὴν καὶ πρὸς ὑγίειαν, πάντα

book 1.5 ταῦτ’ ἐδαινύμην, κρέας βόειον ἑφθὸν ἀσόλοικον μέγα, ἀκροκώλιόν

book 1.6 τε γεννικόν, ὀπτὰ δελφάκια[ln_10]ἁλίπαστα

book 1.7 τρία.

book 1.1 Ἕτεροι δὲ θεοῖσι

book 1.2 συμπεπλεγμένοι μετὰ Καράβου σύνεισιν, ὃς μόνος βροτῶν δύναται καταπιεῖν ἐκ ζεόντων λοπαδίων ἄθρους

book 1.3 τεμαχίτας, ὥστ’ ἐνεῖναι μηδὲ ἕν.

book 1 Πονεῖν μὲν ἄμμες καὶ φαγεῖν μὲν ἀνδρικοί καὶ καρτερῆμεν, τοὶ δ’ Ἀθηναῖοι λέγειν καὶ μικρὰ φαγέμεν, τοὶ δὲ Θηβαῖοι μέγα.

book 2.1 Ζῆθον μὲν ἐλθεῖν ἁγνὸν ἐς Θήβης πέδον οἰκεῖν κελεύει· καὶ γὰρ ἀξιωτέρους

book 2.2 πωλοῦσιν, ὡς ἔοικε, τοὺς ἄρτους ἐκεῖ· σὺ δ’ ὀξύπεινος· τὸν δὲ μουσικώτατον[ln_5]κλεινὰς Ἀθήνας ἐκπερᾶν Ἀμφίονα. οὗ ῥᾷστ’ ἀεὶ πεινῶσι Κεκροπιδῶν κόροι κάπτοντες αὔρας ἐλπίδας

book 2.3 σιτούμενοι.

book 3.1

[spk_β]Καλλίστρατος τίς ἐστιν * * * οὗτος οὖν
book 3.2 πυγὴν μεγάλην εἶχ’ ὦ Χαριάδη καὶ καλήν. Β. τοῦτον καταλεκτέ’ ἐστὶν ἐς
book 3.3 τοὺς κόλλοπας
book 3.4 τοὺς ἐκδρομάδας.
book 1.1 Μὴ παρατίθει μοι θριδακίνας, ὦ γύναι, ἐπὶ τὴν
book 1.2 τράπεζαν, ἢ σεαυτὴν αἰτιῶ. ἐν τῷ λαχάνῳ τούτῳ γάρ, ὡς ὁ λόγος, ποτέ τὸν Ἄδωνιν ἀποθανόντα
book 1.3 προὔθηκεν Κύπρις·[ln_5]ὥστ’ ἐστὶ νεκύων βρῶμα.
book 1.1 Τί, ὦ πόνηρ’, ἕστηκας ἐν πύλαις ἔτι, ἀλλ’ οὐ βαδίζεις; τοῖς δὲ γενναίως πάλαι διεσπάρακται θερμὰ χηνίσκων μέλη, διερράχισται
book 1.2 σεμνὰ δελφάκων κρέα,[ln_5]κατηλόηται γαστρὸς ἐν μέσῳ κύκλος, κατῃσίμωται πάντα τἀκροκώλια, ἐνωγάλισται
book 1.3 σεμνὸς ἀλλᾶντος τόμος, παρεντέτρωκται
book 1.4 τευθὶς ἐξωπτημένη, παρεγκέκαπταί τ’ ἀρνί’ ἐννέ’ ἢ δέκα.[ln_10]ὥστ’ εἴ τι βούλει τῶν λελειμμένων
book 1.5 φαγεῖν, ἔπειγ’ ἔπειγε, μή ποθ’ ὡς λύκος
book 1.6 χανὼν καὶ τῶνδ’ ἁμαρτὼν ὕστερον
book 1.7 συχνὸν δράμῃς.
book 1.1 Τίς ἂν λάβοιτο
book 1.2 τοῦ σκέλους κάτωθέ μοι; ἄνω γὰρ ὥσπερ κοττάβειον αἴρομαι.
book 1.1 Ὕπνος αὐτὸν ὄντα κακόσιτον
book 1.2 τρέφει.
book 2.1 [spk_β]Διπύρους
book 2.2 τε θερμούς. Β. οἱ δίπυροι δ’ εἰσὶν τίνες; Α. ἄρτοι
book 2.3 τρυφῶντες.
book 1.1 Καὶ νᾶπυ Κύπριον καὶ σκαμωνίας ὀπόν, καὶ κάρδαμον Μιλήσιον, καὶ κρόμμυον
book 1.2 Σαμοθρᾴκιον, καὶ καυλὸν ἐκ Καρχηδόνος, καὶ σίλφιον θύμον
book 1.3 τε τῶν Ὑμηττίων,[ln_5]ὀρίγανόν
book 1.4 τε
book 1.5 Τενέδιον.
book 2.1 Ἡμεῖς
book 2.2 ποτ’ ἄνδρας Κεκροπίδας ἐπείσαμεν λαβόντας εἰς Ὑμηττὸν ἐξελθεῖν ὅπλα καὶ σιτί’ ἐπὶ μύρμηκας ἡμερῶν
book 2.3 τριῶν, ὡς
book 2.4 χρυσοτεύκτου ψήγματος
book 2.5 πεφηνότος.
book 1 Ἐθέλει δ’ ἄνευ μισθοῦ παρ’ αὐτοῖς καταμένειν ἐπισίτιος.
book 1.1 Καὶ πρός γε
book 1.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τούτοις ἀσκὸν εἰς μέσον * * καταθέντες εἰσάλλεσθε καὶ καχάζετε ἐπὶ τοῖς καταρρέουσιν ἀπὸ κελεύσματος.

book 1 Ἡπάτια, νῆστις, πλεύμονες, μήτρα.

book 1.1 Ἀλλ᾽ ἔστι

book 1.2 τοῖς

book 1.3 σεμνοῖς μὲν αὐθαδέστερος, καὶ τοῖς κόλαξι πᾶσι

book 1.4 τοῖς

book 1.5 σκώπτουσί τε εἰς αὐτὸν εὐόργητος· ἡγεῖται δὲ δή τούτους μόνους ἐλευθέρους, κἂν δοῦλος ᾖ.

book 2-3.1 Εὐριπίδου δ᾽ ἔσωσας ὡς ἴσασί σοι.[ln_1]* * * * Παρθενεύσεις ἕξεις μοι χάριν, καὶ τοῖς ἐμοῖσιν ἐγγελῶσι πήμασιν τὰ σῖγμα

book 2-3.2 συλλέξαντες, ὡς αὐτοὶ σοφοί.

book 4.1 Χαί Προκλέους ἵπποι

book 4.2 χλωρὰν

book 4.3 ψαλάκανθαν ἔδουσιν.

book 1 Ἐγὼ κεχόρτασμαι μέν, ἄνδρες, οὐ κακῶς, ἀλλ᾽ εἰμὶ πλήρης, ὥστε καὶ μόλις πάνυ ὑπεδησάμην ἅπαντα δρῶν τὰς ἐμβάδας.

book 2.1 Διένιψα δ᾽ οὐδὲν

book 2.2 σκεῦος οὐδεπώποτε· καθαρώτερον γὰρ τὸν κέραμον εἰργαζόμην ἢ Θηρικλῆς τὰς κύλικας, ἡνίκ᾽ ἦν νέος.

book 1 Κτίζε Βοιωτῶν πόλιν ἀνδρῶν ἀρίστων ἐσθίειν δι᾽ ἡμέρας.

book 1.1 Νύμφα δ᾽ ἀπειρόγαμος

book 1.2 τεύτλῳ περὶ σῶμα καλυπτά λευκόχρως

book 1.3 παρέσται, ἔγχελυς, ὦ μέγα μοι μέγα

book 1.4 σοι φῶς * * ἐναργές.

book 1.1 Ἐν

book 1.2 ταῖς γεννικαῖς εὐωχίαις ἀμύλων

book 1.3 παρόντων ἐσθίους᾽ ἑκάστοτε ἄνηθα καὶ σέλινα καὶ φλυαρίας καὶ κάρδαμ᾽ ἐσκευασμένα.

book 1.1 Τρύβλια δὲ καὶ βατάνια καὶ κακκάβια καί λοπάδια καὶ πατάνια

book 1.2 πυκινὰ ταρφέα κοὐδ᾽ ἂν λέγων λέξαιμι.

book 2.1 Μετὰ ταῦτα θύννων μεγαλόπλουτ᾽ ἐπεισέπλει ὑπογάστρι᾽ ὀπτῶν, αἵτε λιμνοσώματοι Βοιώτιαι

book 2.2 παρῆσαν ἐγχέλεις θεαί τεῦτλ᾽ ἀμπεχόμεναι.

book 3.1 Οὕτω

book 3.2 σφόδρ᾽ ἐστὶ τοὺς

book 3.3 τρόπους Βοιώτιος, ὥστ᾽ οὐδὲ δειπνῶν, ὡς λέγους᾽, ἐμπίμπλαται.

book 1.1 Τήν τ᾽ εὐπρόσωπον λοπάδα

book 1.2 τοῦ θαλαττίου γλαύκου φέρουσαν εὐγενέστερον * * λάβρακά θ᾽ ἑφθὸν * * ἅλμῃ μίαν.

book 2.1 Ὦ γαῖα κεραμί, τίς

book 2.2 σε Θηρικλῆς

book 2.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ποτε ἔτευξε κοίλης λαγόνος εὐρύνας βάθος; ἦ που κατειδὼς τὴν γυναικείαν φύσιν ὡς οὐχὶ μικροῖς ἥδεται

book 2.4 ποτηρίοις.

book 3.1 Τίς ἦν ὁ γράψας

book 3.2 πρῶτος ἀνθρώπων ἄρα ἢ κηροπλαστήσας Ἔρωθ’ ὑπόπτερον; ὡς οὐδὲν ᾔδει

book 3.3 πλὴν

book 3.4 χελιδόνας γράφειν, ἀλλ’ ἦν ἄπειρος τῶν

book 3.5 τρόπων τῶν

book 3.6 τοῦ θεοῦ.[ln_5]ἔστιν γὰρ οὔτε κοῦφος, οὔτε ῥᾴδιος ἀπαλλαγῆναι τῷ φέροντι τὴν νόσον, βαρὺς δὲ κομιδῇ· πῶς ἂν οὖν ἔχοι

book 3.7 πτερά τοιοῦτο

book 3.8 πρᾶγμα; λῆρος, εἰ κἄφησέ τις.

book 4.1 Ὡς δ’ ἐδείπνει κοσμίως, οὐχ ὥσπερ ἄλλαι, τῶν

book 4.2 πράσων

book 4.3 ποιούμεναι

book 4.4 τολύπας, ἔσαττον τὰς γνάθους καὶ τῶν κρεῶν ἀπέβρυκον αἰσχρῶς, ἀλλ’ ἑκάστου μικρὸν ἂν[ln_5]ἀπεγεύεθ’ ὥσπερ

book 4.5 παρθένος Μιλησία.

book 5.1 [spk_β]Τραγημάτων δ’ ἔσθ’ ἡ τράπεζά σοι

book 5.2 πλέα. Β. οὐ φιλοτραγήμων εἰμί πως ἑκάστοτε.

book 1.1 Ἀλλὰ παραλαβὼν ἀκράτῳ κροῦε καὶ δίδου

book 1.2 πυκνάς καὶ βότρυς

book 1.3 τρώγειν ἀνάγκαζ’ αὐτὸν ἐξ οἴνου

book 1.4 συχνούς.

book 2.1 Καὶ πνικτὰ Σικελὰ πατανίων

book 2.2 σωρεύματα.

book 3 Ἀλλ’ εἰσὶ φιάλαι πέντε, τραγέλαφοι δύο.

book 1.1 Κόρινθον ἦλθον· ἡδέως ἐνταῦθά πως λάχανόν

book 1.2 τι τρώγων ὤκιμον διεφθάρην. κἀνταῦθα κατελήρησα τὴν ἐξωμίδα.

book 2.1 Μετὰ ταῦτα Θήβας ἦλθον, οὗ τὴν νύχθ’ ὅλην τήν θ’ ἡμέραν δειπνοῦσι καὶ κοπρῶν’ ἔχει ἐπὶ ταῖς θύραις ἕκαστος, οὗ πλήρει βροτῷ οὐκ ἐστὶ μεῖζον ἀγαθόν· ὡς

book 2.2 χεζητιῶν[ln_5]μακρὰν βαδίζων, πολλὰ δ’ ἐσθίων ἀνήρ, δάκνων τὰ χείλη, παγγέλοιός ἐστ’ ἰδεῖν.

book 1.1 Ἴθι δεῦρ’ ἀφελοῦ τ’ ὦ λάγνα

book 1.2 ταχὺ τὰ ποικίλα.

book 1.1 Ἄρτι μὲν μάλ’ ἀνδρικήν τῶν θηρικλείων ὑπεραφρίζουσαν

book 1.2 παρά, κωθωνόχειλον, ψηφοπεριβομβήτριαν, μέλαιναν, εὐκύκλωτον, ὀξυπύνδακα, [ln_5]στίλβουσαν, ἀνταυγοῦσαν, ἐκνενιμμένην, κισσῷ κάρα βρύουσαν, ἐπικαλούμενος εἶλκον Διὸς

book 1.3 σωτῆρος.

book 2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Κεντρωτός, ἱερός, ἅρμ' ὑπερβάλλον πόδας, κήρυνος, εὐδαίμων, κυνῶτας, ἄρτια, Λάκωνες, ἀντίτευχος, Ἀργεῖος, δάκνων, Τιμόκριτος, ἐλλείπων, πυαλίτης, ἐπίθετος,[ln_5]σφάλλων, ἀγύρτης, οἶστρος, ἀνακάμπτων, δορεύς, Λάμπων, Κύκλωπες, ἐπιφέρων, Σόλων, Σίμων.

book 1.1 Πρὸς
book 1.2 τούτοισιν δὲ παρέσται
book 1.3 σοι θύννου τέμαχος, κρέα δελφακίων, χορδαί τ' ἐρίφων, ἧπάρ
book 1.4 τε κάπρου, κριοῦ τ' ὄρχεις, χόλικές
book 1.5 τε βοός,[ln_5]κρανία τ' ἀρνῶν, νῆστίς τ' ἐρίφου, γαστήρ
book 1.6 τε λαγώ, φύσκη, χορδή, πνεύμων, ἀλλᾶς
book 1.7 τε.

book 2.1 Οὐκ ᾤου σύ με
book 2.2 χολὴν ἔχειν, ὡς δ' ἠπάτῳ μοι διελέγου, ἐγὼ δέ γ' εἰμὶ τῶν μελαμπύγων ἔτι.

book 3.1 Ἀλλ' ἠκούσαμεν καὶ τοῦτο, νὴ τὴν Ἑστίαν, οἴκοι
book 3.2 ποθ' ὡς ὅς' ἂν ὁ μάγειρος ἐξαμάρτῃ, τύπτεται, ὥς
book 3.3 φασιν, αὑλητὴς
book 3.4 παρ' ὑμῖν.

book 4 Ὡσπερεὶ σπονδὴν διδούς ἐν τῷ κυλικείῳ συντέτριφεν τὰ ποτήρια.

book 1.1 Τεῦτλ' ἀμπεχομένης
book 1.2 παρθένου Βοιωτίας Κωπᾴδος· ὀνομάζειν γὰρ αἰδοῦμαι θεάν.

book 1.1 Καὶ πιεῖν
book 1.2 χωρὶς μέτρῳ ὀξύβαφον εἰς τὸ κοινόν. εἶθ' ὑπώμνυτο ὁ μὲν οἶνος ὄξος αὑτὸν εἶναι γνήσιον, τὸ δ' ὄξος οἶνον αὑτὸ μᾶλλον θατέρου.

book 1.1 Σὺ μὲν τὸ Θήβης, ὡς λέγεις, πέδον λιπών, ἀνδρῶν ἀρίστων ἐσθίειν δι' ἡμέρας ὅλης
book 1.2 τραχήλους καὶ κοπρῶνος
book 1.3 πλησίον.

book 1.1 Ὅστις λέχη γὰρ
book 1.2 σκότια νυμφεύει λάθρᾳ, πῶς οὐχὶ πάντων ἐστὶν ἀθλιώτατος; ἐξὸν θεωρήσαντι
book 1.3 πρὸς τὸν ἥλιον γυμνὰς ἐφεξῆς ἐπὶ κέρως
book 1.4 τεταγμένας,[ln_5]ἐν λεπτοπήνοις ὕφεσιν ἑστώσας, οἵας Ἠριδανὸς ἁγνοῖς ὕδασι κηπεύει κόρας, μικροῦ πρίασθαι κέρματος τὴν ἡδονήν, καὶ μὴ λαθραίαν κύπριν, αἰσχίστην νόσων
book 1.5 πασῶν, διώκειν, ὕβρεος οὐ πόθου χάριν.[ln_10]Ἑλλάδος ἔγωγε τῆς
book 1.6 ταλαιπώρου
book 1.7 στένω, ἣ Κυδίαν ναύαρχον ἐξεπέμψατο.

book 1.1 Ὃς νῦν
book 1.2 τετάρτην ἡμέραν βαπτίζεται νῆστιν
book 1.3 πονήρου κεστρέως
book 1.4 τρίβων βίον.

book 1.1 Μισῶ κάκιστον γραμματικὸν ἔκπωμ' ἀεί, ἀτὰρ ὡς ὅμοιον οὑμὸς υἱὸς ᾤχετο ἔχων
book 1.2 φιάλιον· τῷ δὲ πολλὰ γίγνεται ὅμοια.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 1.1 Ὁ δ’ ἱερεὺς εὐηγορῶν ἐν μέσοις αὐτοῖσιν ἑστὼς τὴν καλὴν

book 1.2 σκευὴν ἔχων οἶνον ἐξέσπενδε κοτύλῳ.

book 1.1 Ὁ πρῶτος εὑρὼν τἀλλότρια δειπνεῖν ἀνήρ δημοτικὸς ἦν

book 1.2 τις, ὡς ἔοικε, τοὺς

book 1.3 τρόπους. ὅστις δ’ ἐπὶ δεῖπνον ἢ φίλον

book 1.4 τιν’ ἢ ξένον καλέσας ἔπειτα

book 1.5 συμβολὰς ἐπράξατο,[ln_5]φυγὰς γένοιτο μηδὲν οἴκοθεν λαβών.

book 1.1 Περιφοραῖς κυκλούμενος, ὥσπερ κυλιστὸς

book 1.2 στέφανος.

book 1.1 Ἐν τῷ γὰρ αὐτῷ πάνθ’ ὁμοῦ πωλήσεται ἐν

book 1.2 ταῖς Ἀθήναις· σῦκα, κλητῆρες, βότρυς, γογγυλίδες, ἄπιοι, μῆλα, μάρτυρες, ῥόδα, μέσπιλα, χόρια, σχαδόνες, ἐρέβινθοι, δίκαι,[ln_5]πῦος, πυριάτη, μύρτα, κληρωτήρια, ὑάκινθος, ἄρνες, κλεψύδραι, νόμοι, γραφαί.

book 1.1 Πᾶσα δ’ εὔμορφος γυνή ἐρῶσα

book 1.2 φοιτᾷ τηγάνων

book 1.3 τε σύντροφα

book 1.4 τριβαλλοποπανόθρεπτα μειρακύλλια· ὁμοῦ δὲ τευθὶς καὶ Φαληρικὴ κόρη[ln_5]σπλάγχνοισιν ἀρνείοισι

book 1.5 συμμεμιγμένη

book 1.6 πηδᾷ χορεύει, πῶλος ὣς ἀπὸ ζυγοῦ. ῥιπὶς δ’ ἐγείρει φύλακας Ἡφαίστου κύνας, θερμῇ παροξύνουσα

book 1.7 τηγάνων

book 1.8 πνοῇ. ὀσμὴ δὲ πρὸς μυκτῆρας ἠρεθισμένη[ln_10]ᾄσσει. μεμαγμένη δὲ Δήμητρος κόρη κοίλην φάραγγα δακτύλου

book 1.9 πιάσματι σύρει, τριήρους ἐμβολὰς μιμουμένη, δείπνου

book 1.10 πρόδρομον ἄριστον.

book 2.1 Δεινὸν μὲν ἰδόντα

book 2.2 παριππεῦσαι Κυπρίους ἄρτους· μαγνῆτις γάρ λίθος ὣς ἕλκει

book 2.3 τοὺς

book 2.4 πεινῶντας.

book 3 Ὡς εὖ νεναυάγηκεν ἐπὶ τοῦ τηγάνου ὁ θεοῖσιν ἐχθρὸς Μυρτίλος.

book 4 Καρῖδα καθῆκα κάτω κἀνέσπας’ αὖθις.

book 1-3.1 Ἐγὼ δέ, καὶ γὰρ ἔτυχεν ὂν κατ’ ἀντικρύ τῆς οἰκίας καινὸν καπηλεῖον μέγα, ἐνταῦθ’ ἐπετήρουν τὴν

book 1-3.2 τροφὸν τῆς

book 1-3.3 παρθένου κεράσαι κελεύσας τὸν κάπηλόν μοι χόα[ln_5]ὀβολοῦ, παραθεῖναι θ’ ὡς μέγιστον κάνθαρον.[ln_5]* * * * Ὁ δὲ κάνθαρος πάλαι κενὸς ὡς ξηραίνεται.[ln_6]* * * * Ἅμα δὲ λαβοῦς’ ἠφάνικε

book 1-3.4 πηλίκον

book 1-3.5 τινά οἴεσθε μέγεθος, Ἀρεσία; μέγαν πάνυ, καὶ ξηρὸν ἐποίης’ εὐθέως τὸν κάνθαρον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 4.1 Πρῶτον μὲν αὐτοῦ παραλαβὼν τὼ χαλκίω τὸν ἰὸν ἐκ τῆς

book 4.2 χειρὸς ἐξεσπόγγισεν.

book 1.1 Φιλῳδοὺς κερμάτων

book 1.2 παλευτρίας, * * * πώλους Κύπριδος ἐξησκημένας, γυμνάς, ἐφεξῆς ἐπὶ κέρως

book 1.3 τεταγμένας, ἐν λεπτοπήνοις ὕφεσιν ἑστώσας, οἵας[ln_5]Ἠριδανὸς ἁγνοῖς ὕδασι κηπεύει κόρας· παρ' ὧν βεβαίως ἀσφαλῶς τ' ἔξεστί σοι μικροῦ πρίασθαι κέρματος τὴν ἡδονήν.

book 2 Ἀπὸ τῶν ἐκείνου καὶ τὰ κυντατώτατα.

book 1.1 Τρέφει με Θετταλός

book 1.2 τις, ἄνθρωπος βαρύς, πλουτῶν, φιλάργυρος δὲ κἀλιτήριος, ὀψοφάγος, ὀψωνῶν δὲ μέχρι

book 1.3 τριωβόλου.

book 2.1 Οὐκ ἂν δυναίμην ἐμφαγεῖν ἄρτον

book 2.2 τινά· παρὰ Γναθαινίῳ γὰρ ἄρτι κατέφαγον ἕψουσαν αὐτὴν καταλαβὼν γηθυλλίδας.

book 1.1 [spk_β]Οὐκοῦν ὑποστορεῖτε μαλακῶς τῷ κυνί; κάτω μὲν ὑποβαλεῖτε τῶν Μιλησίων ἐρίων, ἄνωθεν δ' ἐπιβαλεῖτε ξυστίδα. Β. Ἄπολλον. Α. εἶτα χόνδρον αὐτῷ δεύσετε[ln_5]γάλακτι

book 1.2 χηνός. Β. Ἡράκλεις. Α. καὶ τοὺς πόδας ἀλείψατ' αὐτοῦ τῷ Μεγαλλίῳ μύρῳ.

book 2-3.1 Ἡμεῖς δ' οὐδέπω δεδείπναμεν. Ὃν

book 2-3.2 χρὴ δεδειπνάναι πάλαι.

book 1.1 Ἀγαπῶν

book 1.2 τε κἂν ἑψητὸν ἐν

book 1.3 τεύτλοις ἕνα διὰ δωδεκάτης ἑψόμενον ἡμέρας ἴδῃ.

book 1.1 Τρεῖς γὰρ μόνους κρατῆρας ἐγκεραννύω

book 1.2 τοῖς εὖ φρονοῦσι· τὸν μὲν ὑγιείας ἕνα, ὃν

book 1.3 πρῶτον ἐκπίνουσι, τὸν δὲ δεύτερον ἔρωτος ἡδονῆς

book 1.4 τε, τὸν

book 1.5 τρίτον δ' ὕπνου,[ln_5]ὃν ἐκπιόντες οἱ σοφοὶ κεκλημένοι οἴκαδε βαδίζους'. ὁ δὲ τέταρτος οὐκ ἔτι ἡμέτερός ἐστ', ἀλλ' ὕβρεος· ὁ δὲ πέμπτος βοῆς· ἕκτος δὲ κώμων· ἕβδομος δ' ὑπωπίων· ὁ δ' ὄγδοος κλητῆρος· ὁ δ' ἔνατος

book 1.6 χολῆς·[ln_10]δέκατος δὲ μανίας, ὥστε καὶ βάλλειν

book 1.7 ποιεῖ· πολὺς γὰρ εἰς ἓν μικρὸν ἀγγεῖον

book 1.8 χυθεὶς ὑποσκελίζει ῥᾷστα

book 1.9 τοὺς

book 1.10 πεπωκότας.

book 2.1 Ἑρμῆς ὁ Μαίας λίθινος, ὃν

book 2.2 προσεύγμασιν ἐν τῷ κυλικείῳ λαμπρὸν ἐκτετριμμένον.

book 3.1 Πρῶτον μὲν ὅταν ἐμοί τι θύωσίν

book 3.2 τινες, αἷμα, κύστιν, μὴ καρδίαν μηδ' ἐπιπόλαιον. ἐγὼ γὰρ οὐκ ἐσθίω γλυκεῖαν οὐδὲ μηρία.

book 1.1 Μὰ Δί' οὐχὶ περιπεπλασμέναι

book 1.2 ψιμυθίοις, οὐδ' ὥσπερ ὑμεῖς

book 1.3 συκαμίνῳ τὰς γνάθους κεχριμέναι. κἂν ἐξίητε

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 1.4 τοῦ θέρους, ἀπὸ τῶν μὲν ὀφθαλμῶν ὑδρορρόαι δύο[ln_5]ῥέουσι μέλανος, ἐκ δὲ τῶν γνάθων ἱδρὼς ἐπὶ τὸν

book 1.5 τράχηλον ἄλοκα μιλτώδη

book 1.6 ποιεῖ, ἐπὶ τῷ προσώπῳ δ' αἱ τρίχες

book 1.7 φορούμεναι εἴξασι

book 1.8 πολιαῖς, ἀνάπλεῳ ψιμυθίου.

book 2.1 Ὦ μάκαρ ἥτις ἔχους' ἐν δώματι * * στρούθιον ἀεροφόρητον λεπτότατον

book 2.2 περὶ σῶμα

book 2.3 συνίλλεσται

book 2.4 τε ἡδυπότατον

book 2.5 περὶ νυμφίον εὔτριχα,[ln_5]κισσὸς ὅπως καλάμῳ περιφύεται αὐξόμενος ἔαρος ὀλολυγόνος ἔρωτι κατατετηκώς.

book 3-4.1 Αἰγίδιον, σὺ δὲ τόνδε

book 3-4.2 φορήσεις

book 3-4.3 στέφανον

book 3-4.4 πολυποίκιλον ἀνθέων, γρυπότατον, χαριέστατον, ὦ Ζεῦ. τί γάρ; αὐτὸν ἔχουσα

book 3-4.5 φιλήσει.[ln_4]* * * *

book 3-4.1 [ln_5][spk_β]Στεφάνους ἴσως βούλεσθε· πότερ' ἑρπυλλίνους ἢ μυρτίνους ἢ τῶν διεξηνθισμένων; Β. τῶν μυρτίνων βουλόμεθα

book 3-4.2 τουτωνί· σὺ δὲ τά γ' ἄλλα πώλει πάντα

book 3-4.3 πλὴν τῶν μυρτίνων.

book 5 Εἰ μὴ σὺ χηνὸς ἧπαρ ἢ ψυχὴν ἔχεις.

book 6.1 Αἰγυπτίῳ ψάγδανι

book 6.2 τρὶς λελουμένη.

book 7 Λῦε τἀλαβάστια θᾶττον σὺ καὶ τῇ σπαθίδι τὸν πώγωνά μου καὶ τὴν ὑπήνην μύρισον.

book 8.1 Εὔχρων

book 8.2 τι κιλλόν, μανθάνεις; θερίστριον.

book 1.1 Ἔστι λαλῶν ἄγλωσσος, ὁμώνυμος ἄρρενι θῆλυς, οἰκείων ἀνέμων

book 1.2 ταμίας, δασύς, ἄλλοτε λεῖος, ἀξύνετα ξυνετοῖσι λέγων, νόμον ἐκ νόμου ἕλκων. ἓν δ' ἐστὶν καὶ πολλά, καὶ ἂν

book 1.3 τρώσῃ τις ἄτρωτος.

book 1.1 [ln_5][spk_β]Β. τί ἐστὶ τοῦτο; Α. τί ἀπορεῖς; Β. Καλλίστρατος. Α. πρωκτὸς μὲν οὖν οὗτος. Β. σὺ δὴ ληρεῖς ἔχων. Α. οὗτος γὰρ αὐτός ἐστιν ἄγλωττος, λάλος, ἓν ὄνομα

book 1.2 πολλοῖς, τρωτός, ἄτρωτος, δασύς, λεῖος· τί βούλει; πνευμάτων

book 1.3 πολλῶν φύλαξ.[ln_10]Ἀττελεβόφθαλμος, μὴ πρόστομος, ἀμφικέφαλλος, αἰχμητής, παίδων ἀγόνων γόνον ἐξαφανίζων. ἰχνεύμων Αἰγύπτιος. τῶν γὰρ κροκοδείλων οὗτος ᾠὰ λαμβάνων, πρὶν θηριοῦσθαι τὸν γόνον καταγνύει,[ln_15]ἔπειτ' ἀφανίζει· διότι δ' ἔστ' ἀμφίστομος, κεντεῖ κάτωθεν, τοῖς δὲ χείλεσιν δάκνει. Οἶδ' ἐγὼ ὃς νέος ὢν ἐστὶν βαρύς, ἂν δὲ γέρων ᾖ,

book 1.1 ἄπτερος ὢν κούφως πέτεται καὶ γῆν ἀφανίζει. πάππος ἀπ' ἀκάνθης· οὗτος γάρ[ln_20]νέος μὲν ὢν ἕστηκεν ἐν τῷ σπέρματι· ὅταν δ' ἀποβάλῃ τοῦτο, πέτεται κοῦφος ὤν, δήπουθεν ὑπὸ τῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 1.2 παιδίων

book 1.3 φυσώμενος. Ἔστιν ἄγαλμα βεβηκὸς ἄνω, τὰ κάτω δὲ κεχηνός, εἰς πόδας ἐκ κεφαλῆς

book 1.4 τετρημένον, ὀξὺ διαπρό,[ln_25]ἀνθρώπους τίκτον κατὰ τὴν

book 1.5 πυγὴν ἕν’ ἕκαστον· ὧν οἱ μὲν μοίρας ἔλαχον βίου, οἱ δὲ πλανῶνται.

book 1 αὐτὸ δ’ ἕκαστος ἔχων αὐτόν, καλέω δὲ φυλάττειν.

book 2.1 Ἐν θαλάμῳ μαλακῶς κατακείμενον. ἐν δὲ κύκλῳ νιν

book 2.2 παρθενικαὶ τρυφεραὶ χλανίσιν μαλακαῖς κατάθρυπτοι τὸν πόδ’ ἀμαρακίνοισι μύροις

book 2.3 τρίψουσι τὸν ἐμόν.

book 3.1 Νὴ τὸν Δί’ ἠσθένουν γάρ, ὦ βέλτιστε σύ, φαγοῦσα

book 3.2 πρώην σῦκα τῆς μεσημβρίας.

book 1.1 Μὴ πολυτελῶς, ἀλλὰ καθαρείως ὅ τι ἂν ᾖ, ὁσίας ἕνεκα, σηπίδι’ ἢ τευθίδια, πλεκτάνια μικρὰ πουλύποδος, νῆστίν

book 1.2 τινα, μήτραν, χόρια, πῦον, λάβρακος κρανίον[ln_5]εὐμέγεθες.

book 2.1 Ὡς γὰρ εἰσῆλθε τὰ γερόντια τότ’ εἰς δόμους, εὐθὺς ἀνεκλίνετο· παρῆν

book 2.2 στέφανος ἐν τάχει· ᾔρετο

book 2.3 τράπεζα. παρέκειθ’ ἅμα

book 2.4 τετριμμένη μᾶζα

book 2.5 χαριτοβλέφαρος.

book 1.1 Προσγελῶσά τε λοπὰς

book 1.2 παφλάζει βαρβάρῳ λαλήματι, πηδῶσι δ’ ἰχθῦς ἐν μέσοισι

book 1.3 τηγάνοις.

book 1 Καὶ γὰρ ὁ ταὧς διὰ τὸ σπάνιον θαυμάζεται.

book 1.1 Καὶ γὰρ πόσῳ κάλλιον, ἱκετεύω, τρέφειν ἄνθρωπον ἔστ’ ἄνθρωπον, ἂν ἔχῃ βίον, ἢ χῆνα

book 1.2 πλατυγίζοντα καὶ κεχηνότα, ἢ στρουθόν, ἢ πίθηκον, ἐπίβουλον κακόν.

book 1-2.1 Κακὸς κακῶς ἀπόλοιθ’ ὅστις γυναῖκα δεύτερον ἔγημε· τὸν γὰρ

book 1-2.2 πρῶτον οὐκ ἐρῶ κακῶς· ὁ μὲν γὰρ ἦν ἄπειρος, οἶμαι, τοῦ κακοῦ,[ln_5]ὁ δ’ οἷον ἦν γυνὴ κακὸν

book 1-2.3 πεπυσμένος.[ln_5]* * * * Ὦ Ζεῦ πολυτίμητ’, εἶτ’ ἐγὼ κακῶς

book 1-2.4 ποτε ἐρῶ γυναῖκας; νὴ Δί’ ἀπολοίμην ἄρα, πάντων ἄριστον κτημάτων. εἰ δ’ ἐγένετο κακὴ γυνὴ Μήδεια, Πηνελόπεια δέ[ln_10]μέγα

book 1-2.5 πρᾶγμ’. ἐρεῖ τις ὡς Κλυταιμνήστρα κακή·

book 1-2.1 Ἄλκηστιν ἀντέθηκα

book 1-2.2 χρηστήν. ἀλλ’ ἴσως

book 1-2.3 Φαίδραν ἐρεῖ κακῶς

book 1-2.4 τις· ἀλλὰ νὴ Δία

book 1-2.5 χρηστὴ τίς ἦν μέντοι, τίς; οἴμοι δείλαιος, ταχέως γέ μ’ αἱ χρησταὶ γυναῖκες ἐπέλιπον, [ln_15]τῶν δ’ αὖ πονηρῶν ἔτι λέγειν

book 1-2.6 πολλὰς ἔχω.

book 1 Τὰ κυλικεῖα δέ ἐξεῦρεν ἡμῖν.

book 1.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Εἰσὶν ἡμῖν τῶν κεκλημένων δύο ἐπὶ δεῖπνον ἄμαχοι, Φιλοκράτης καὶ Φιλοκράτης. ἕνα γὰρ ἐκεῖνον ὄντα δύο λογίζομαι, μεγάλους, μᾶλλον δὲ τρεῖς.[ln_5]ὅν

book 1.2 φασί ποτε κληθέντ’ ἐπὶ δεῖπνον

book 1.3 πρὸς φίλου

book 1.4 τινός εἰπόντος αὐτῷ τοῦ φίλου, ὁπηνίκ’ ἄν εἴκοσι

book 1.5 ποδῶν μετροῦντι τὸ στοιχεῖον ᾖ, ἥκειν, ἕωθεν αὐτὸν εὐθὺς ἡλίου μετρεῖν ἀνέχοντος· μακροτέρας δ’ οὔσης ἔτι[ln_10]πλεῖν ἢ δυοῖν

book 1.6 ποδοῖν

book 1.7 παρεῖναι τῆς

book 1.8 σκιᾶς· ἔπειτα φάναι, μικρὸν ὀψιαίτερον δι’ ἀσχολίαν ἥκειν, παρόνθ’ ἅμ’ ἡμέρᾳ.

book 2.1 Ἰχθὺν δ’ Ὅμηρος ἐσθίοντ’ εἴρηκε

book 2.2 ποῦ τίνα τῶν Ἀχαιῶν; κρέα δὲ μόνον ὤπτων, ἐπεί ἕψοντά γ’ οὐ πεποίηκεν αὐτῶν οὐδένα. ἀλλ’ οὐδὲ μίαν ἄλλην ἑταίραν εἶδέ τις[ln_5]αὐτῶν, ἑαυτοὺς δ’ ἔδεφον ἐνιαυτοὺς δέκα, πικρὰν

book 2.3 στρατείαν δ’ εἶδον, οἵτινες πόλιν μίαν λαβόντες, εὐρυπρωκτότεροι

book 2.4 πολύ τῆς πόλεος ἀπεχώρησαν, ἧς εἷλον τότε.

book 3.1 Ἄτοπόν γε τὸν μὲν οἶνον εὐδοκιμεῖν ἀεί παρὰ ταῖς ἑταίραις τὸν

book 3.2 παλαιόν, ἄνδρα δέ μὴ τὸν

book 3.3 παλαιὸν ἀλλὰ τὸν νεώτερον.

book 4 Θάσιον ἢ Χῖον λαβών ἢ Λέσβιον γέροντα νεκταροσταγῆ.

book 5 [spk_β]Σίκων ἐγώ βεβρεγμένος ἥκω καὶ κεκωθωνισμένος. Β. πέπωκας οὗτος; Α. ναὶ μὰ Δία πέπωκ’ ἐγώ Μενδαῖον.

book 6.1 Οἶνον γάρ με Ψίθιον γεύσας ἡδὺν ἄκρατον, διψῶντα λαβών ὄξει

book 6.2 παίει

book 6.3 πρὸς τὰ στήθη.

book 7 Κνίδια κεράμια, Σικελὰ βατάνια, Μεγαρικὰ πιθάκνια.

book 8 Ὁ Λευκάδιος πάρεστι καὶ Μιλήσιος οἰνίσκος οὔπω πότιμος.

book 9 Γύναι, ῥάφανόν με νομίσας’ εἰς ἐμὲ σὺ τὴν κραιπάλην μέλλεις ἀφεῖναι πᾶσαν, ὡς ἐμοὶ δοκεῖς.

book 10.1 Ἐπεὶ δὲ σηκῶν

book 10.2 περιβολὰς ἠμείψαμεν, ὕδωρ

book 10.3 τε ποταμοῦ σῶμα διεπεράσαμεν, καὶ ἡμῶν δὲ πᾶσα δύναμις ὑδάτων ἄρδεται.

book 12.1 [spk_α]Α. Θὲς ἑπτάκλινον. Β. ἑπτάκλινος οὑτοσί. Α. καὶ πέντε κλίνας

book 12.2 Σικελικάς. Β. λέγ’ ἄλλο

book 12.3 τι. Α. Σικελικὰ προσκεφάλαια πέντε.

book 13 Φηγούς, κάρυα Καρύστια.

book 15a.1 Ἀμφιδρομίων ὄντων, ἐν οἷς νομίζεται ὀπτᾶν

book 15a.2 τε τυροῦ Χερρονησίτου τόμον, ἕψειν τ’ ἐλαίῳ ῥάφανον ἠγλαϊσμένην, πνίγειν

book 15a.3 τε παχέων ἀρνίων

book 15a.4 στηθύνια,[ln_5]τίλλειν

book 15a.5 τε φάττας καὶ κίχλας ὁμοῦ σπίνοις, ὁμοῦ τε

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 15a.6 χναύειν μαινίσιν

book 15a.7 σηπίδια, πιλοῦν

book 15a.8 τε πολλὰς

book 15a.9 πλεκτάνας ἐπιστρεφῶς, πίνειν

book 15a.10 τε πολλὰς κύλικας εὐζωρεστέρας.

book 15b.1 Κόκκον λαβοῦσα κνίδιον ἢ τοῦ πεπέριδος

book 15b.2 τρίψας’ ὁμοῦ σμύρνῃ διάπαττε τὴν ὁδόν.

book 16.1 Οὗτοι ἀνιπτόποδες

book 16.2 χαμαιευνάδες ἀερίοικοι, ἀνόσιοι λάρυγγες, ἀλλοτρίων κτεάνων

book 16.3 παραδειπνίδες, ὦ λοπαδάγχαι λευκῶν ὑπογαστριδίων.

book 17 Πολλοί, φυγόντες δεσπότας, ἐλεύθεροι ὄντες πάλιν ζητοῦσι τὴν αὐτὴν φάτνην.

book 18.1 Αὐτοῖς δὲ τοῖς θεοῖσι τὴν κέρκον μόνην καὶ μηρὸν ὥσπερ

book 18.2 παιδερασταῖς θύετε.

book 19.1 Ταῖς ξυστίσιν

book 19.2 ταῖς

book 19.3 χρυσοπάστοις

book 19.4 στρώννυται.

book 20 καὶ μὴν οἴκαδε * * πολλοσταῖος ἀποτρέχω, γύναι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org